Τοῦ τῆς δουλείας ζυγοῦ ᾐτιᾶτο τὴν ἁμαρτίαν· αὕτη γὰρ πάσης δουλείας παραίτιος· αὕτη καὶ τὸν πρῶτον ἄνθρωπον δοῦλον τῶν παθῶν καὶ τοῦ ἄρχοντος τοῦ σκότους ἐποίησε· εἰ δοῦλος γὰρ ὁ ἁμαρτάνων τῆς ἁμαρτίας κατὰ τὸν Ἀπόστολον, καὶ τοῦ τῆς ἁμαρτίας ἀνθρώπου πάντως ἔσται δοῦλος.

Πολλοῦ γὰρ δεῖ φάναι, ὡς ὁ τῶν ὅλων θεὸς εἰς ἔλεγχον τῆς ἡμῶν καρτερίας τῷ τῆς δουλείας ζυγῷ ὑποπεσεῖν ἡμᾶς ξυνεχώρησε· τοιοῦτος γὰρ ἂν φαίη ὁ πολύτλας Ἰώβ, καὶ ὅσοι κατ' ἐκεῖνον· ἀλλ' εἰ καὶ καθ' ὑπόθεσιν οὕτως ἔχει, ἡμᾶς ἔμπης γε κρεῖττον ὡς κολαζομένους διὰ τὰς ἡμῶν ἁμαρτίας κάμπτεσθαι, καὶ ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ ταπεινοῦσθαι, ἢ ὡς δοκιμαζομένους μεταχειρίζεσθαι.

Ταπεινώσεως δίχα σωτηρίας τυχεῖν ἀδύνατον εἶναι ἔλεγε· καὶ δῆλον ἐκ τοῦ ἐναντίου· τοῖς γὰρ ὑπερηφάνοις φησὶν ὁ θεὸς ἀποτάσσεται· οὗ τί φοβερώτερον τοῖς γε νοῦν ἔχουσιν;

Καὶ ταῦτα μὲν ἐκ πολλῶν ὀλίγα περὶ τοῦ σοφωτάτου ἐκείνου καὶ ἁγίου ἀνδρός· ἐγὼ δὲ ὁ τῶν δούλων αὐτῆς ἐλάχιστος τῶν πανεκλάμπρων αὐτῆς ποδῶν προσκλινόμενος ἱκέτης αὐτοῖς προσκάθημαι, ἵνα μὴ διὰ τὸ ἀκαλλὲς τοῦ παρόντος καὶ ἄμουσον τῆς πανεκλάμπρου εὐνοίας τοῦ ὕψους αὐτῆς ἐκπέσοιμι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ